ἦσαν, ὁ μὲν γὰρ Σωκράτης ἐπὶ τῆς οζ′ ὀλυμπιάδος τῷ γ′ ἔτει, ὁ δὲ Ἐμπεδοκλῆς ὁ Πυθαγόρειος, ὁ διδάσκαλος Γοργίου, ἐφοίτησεν παρ᾽ αὐτῷ· ἀμέλει καὶ γράφει ὁ Γοργίας περὶ φύσεως σύγγραμμα οὐκ ἄκομψον τῇ πδ′ ὀλυμπιάδι, ὥστε κη′ ἔτεσιν ἢ ὀλίγῳ πλείοσιν εἶναι πρῶτον τὸν Σωκράτη. ἄλλως τέ φησιν ἐν τῷ Θεαιτήτῳ ὁ Πλάτων ὅτι ʽνέος ὢν κομιδῇ ἐνέτυχον Παρμενίδῃ ὄντι πάνυ πρεσβύτῃ καὶ εὗρον βαθύτατον ἄνδραʼ. οὗτος δὲ ὁ Παρμενίδης διδάσκαλος ἐγένετο Ἐμπεδοκλέους τοῦ διδασκάλου Γοργίου. καὶ ὁ Γοργίας δὲ πρεσβύτης ἦν, ὡς γὰρ ἱστόρηται τέθνηκεν ὢν ρθ′ ἐτῶν, ὥστε περὶ τοὺς αὐτοὺς χρόνους ἦσαν. ταῦτα ἔχει ἡ θεωρία.

7 1

## Πρᾶξις σὺν θεῷ α′

1 *Πολέμου καὶ μάχης φασὶν χρῆναι, ὦ Σώκρατες* [447 a 1–c 4].

Περὶ ἀνθρώπων διαλέγονται μὲν ποιηταί, διαλέγονται δὲ καὶ φιλόσοφοι. ἀλλ᾽ ἐπειδὴ διττὸς ὁ ἄνθρωπος, ὁ μὲν κατὰ τὴν ψυχὴν ὁρώμενος, ὁ δὲ κατὰ τὸ φαινόμενον (ἀντὶ τοῦ κατὰ τὸ συναμφότερον), οἱ μὲν ποιηταὶ περὶ τοῦ συναμφοτέρου διαλέγονται· οὕτω γοῦν καὶ ὁ ποιητὴς εἰσάγει τὸν Νέστορα λέγοντα ὅτι ʽσυνεγενόμην τριῶν γενεῶν ἀνθρώποιςʼ καί φησιν ὅτι

ʽτοῦ καὶ ἀπὸ στόματος μέλιτος γλυκίων ῥέεν αὐδήʼ,

πανταχοῦ τὸ συναμφότερον ἐμφαίνων· οὕτω δὲ καὶ τὴν Ἑλένην ποιεῖ ἐρωτωμένην ʽτίς ἐστιν ἐκεῖνος;ʼ καὶ λέγου-

**mg. 7** Παρμενίδης Ἐμπεδοκλῆς Γοργίας Σωκράτης ‖ **13** (mg. inf.) m. rec. κεί(μενον) Γοργίας ἢ περὶ ῥητορικῆς ‖ **14** παροιμία ἐπὶ τῶν ἔν τινι ὑστεριζόντων λεγομένη· ʽπολέμου μεταλαγχάνειςʼ.